γεννῶν. ἡ γὰρ ὕλη λόγον ἔχει πρὸς τὰ γινόμενα μητρὸς ὥς φησι Πλάτων (Tim. 52d) καὶ τιθήνης· ὕλη δὲ πᾶν ἐξ οὗ σύστασιν ἔχει τὸ γεννώμενον. τὸ δ' ἐπὶ τούτοις' ἔφη γελάσας ''ἀείσω ξυνετοῖσι' (Orph. fr. 334) τὸν Ὀρφικὸν καὶ ἱερὸν λόγον, ὃς οὐκ ὄρνιθος μόνον τὸ ᾠὸν ἀποφαίνει πρεσβύτερον, ἀλλὰ καὶ συλλαβὼν ἅπασαν αὐτῷ τὴν ἁπάντων ὁμοῦ πρεσβυγένειαν ἀνατίθησιν. καὶ τἄλλα E μὲν 'εὔστομα κείσθω' καθ' Ἡρόδοτον (II 171), ἔστι γὰρ μυστικώτερα· ζῴων δὲ πολλὰς φύσεις τοῦ κόσμου περιέχοντος, οὐδὲν ὡς εἰπεῖν γένος ἄμοιρόν ἐστι τῆς ἐξ ᾠοῦ γενέσεως, ἀλλὰ καὶ πτηνὰ γεννᾷ καὶ νηκτὰ μυρία καὶ χερσαῖα, σαύρας, καὶ ἀμφίβια, [καὶ] κροκοδείλους, καὶ δίποδα, τὸν ὄρνιν, καὶ ἄποδα, τὸν ὄφιν, καὶ πολύποδα, τὸν ἀττέλεβον· ὅθεν οὐκ ἀπὸ τρόπου τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ὡς μίμημα τοῦ τὰ πάντα γεννῶντος καὶ περιέχοντος ἐν ἑαυτῷ συγκαθωσίωται.'

**3.** Ταῦτα τοῦ Φίρμου διεξιόντος, ὁ Σ ε ν ε κ ί ω ν ἔφη τὴν τελευταίαν τῶν εἰκόνων αὐτῷ πρώτην ἀντιπίπτειν. F 'ἔλαθες γάρ' εἶπεν, 'ὦ Φίρμε, τὸν κόσμον ἀντὶ τῆς παροιμιακῆς θύρας 'ἐπὶ σεαυτὸν ἀνοίξας'. ὁ γὰρ κόσμος προϋφέστηκε πάντων τελειότατος ὤν· καὶ λόγον ἔχει τοῦ ἀτελοῦς φύσει πρότερον εἶναι τὸ τέλειον, ὡς τοῦ πεπηρωμένου τὸ ὁλόκληρον καὶ τοῦ μέρους τὸ ὅλον· οὐδὲ γὰρ ἔχει λόγον εἶναι μέρος οὗ μέρος ἐστὶ μὴ γεγονότος. ὅθεν οὐθεὶς λέγει τοῦ σπέρματος εἶναι τὸν ἄνθρωπον οὐδὲ τοῦ 637 ᾠοῦ τὴν ἀλεκτορίδα, τῆς δ' | ἀλεκτορίδος τὸ ᾠὸν εἶναι καὶ τὸ σπέρμα τοῦ ἀνθρώπου λέγομεν, ὡς τούτων ἐπιγινομένων ἐκείνοις καὶ τὴν γένεσιν ἐν ἐκείνοις λαμβανόντων εἶθ' ὥσπερ ὄφλημα τῇ φύσει τὴν γένεσιν ἀποδιδόν-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/66 UNIVERSITÄT LEIPZIG